τοὺς ἱππέας καὶ οὐχ ἱππεῖς. ὡς μοιχὸς δὲ κωμῳδεῖται ὁ Θέωρος καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ Κόρινθον οὖν διέτριβεν, ἴσως διὰ τὰς ἐκεῖ πόρνας. ἦν δὲ καὶ κόλαξ. ταῦτα οὖν λέγει, ἴσως κολακεύων τοὺς ἱππέας. Δεινά γ' ὦ Πόσειδον.] δοκοῦσι καὶ οἱ Κορίνθιοι μάλιστα σέβεσθαι Ποσειδῶνα διὰ τὸν Ισθμόν. ὅθεν καὶ γυμνικὸν ἀγῶνα τὰ

A Ἴσθμια ἐπιτελοῦσι τῷ τε Παλαίμονι καὶ τῷ Ποσειδῶνι. ἄλλως. ὅτι οἱ Ἀθηναῖοι ἐστράτευσαν ἐπὶ Κόρινθον, καὶ περὶ Κεγχρέας ἐνίκησαν Νικίου στρατηγοῦντος τοῦ Νικηράτου, σὺν ἱππεῦσι καὶ ὁπλίταις καὶ ναυσί. Μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ.] ὡς τῶν Ἀθηναίων οὐ κατὰ θάλατταν μόνον, ἀλλὰ καὶ κατὰ γῆν ἐν τοῖς πολέμοις κρατούντων.

## ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ πρώτη.

B

Τρίμετροι, καὶ ἄλλοι μικτοί.

ΧΟΡΟΣ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, Ἢ ΑΓΟΡΑΚΡΙΤΟΣ.

## ACTVS II. SCENA I.

*Senarij & alij misti.*

CHORVS, AGORACRITVS.

BISETVS. Χορὸς τὸν Ἀλλαντοπώλην ἰδὼν πάλιν ἐλθόντα σῶν, καὶ χαίροντα, πᾶν τὸ πρᾶγμα, καὶ τὸν ἠγωνισμένον ἀγῶνα, καὶ τὴν νίκην ἀπὸ Κλέωνος ἀπενεχθεῖσαν ἑαυτῷ φανερῶς αὐτὸν διηγεῖσθαι κελεύει. ὅσην δὲ περὶ τῆς αὐτοῦ σωτηρίας, καὶ λαμπρᾶς νίκης ἡδονὴν, καὶ χαρὰν ἔχοι, διαῤῥήδην λέγει.

C

BISETVS. Σύστημα στίχων ε.

Χο. Ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε
Ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα;
Καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
Ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
Αλ. Τί δ' ἄλλο γ', εἰμὴ νικόβουλος ἐγενόμην;

D

CH. Hominum charissime, & iuuenum fortissime,
Quantam iniecisti nobis solicitudinem,
Dum abes: At nũc, quãdo saluus huc reuerteris,
Expone, quomodo tuam causam obtinueris.
AG. Quomodo enim aliter, nisi quòd victor fui in foro?

Σχόλια. Ὦ φίλτατ' ἀνδρῶν.] ἔτι τοῦ χοροῦ ἴαμβοι τρίμετροι ἀκατάληκτοι ε τοῦ ὑποκειτοῦ προερχομένου. ἄλλως. ὦ φίλτατε. ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην ἥκοντα ἀπὸ τῆς βουλῆς καὶ καταγωνισάμενον Κλέωνα. Φροντίδα.] ἀγωνίαν καὶ μέριμναν καὶ φόβον. ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰς δέος κατέστησας ἡμᾶς, μὴ παρευδοκιμηθῇς πρὸς τοῦ Κλέωνος. Νικόβουλος.] ἐγώ φησι τὴν νίκην ἀπηνεγκάμην. ἀστείως δὲ κέχρηται τῷ συνθέτῳ. καὶ τὰ ὀνόματα συνέπλεξεν ἄμφω. ἐν τῇ βουλῇ γὰρ τὴν φιλονεικίαν ἐποιήσατο προσκαλεσαμένου τοῦ Κλέωνος. καὶ οἱ βουλευταὶ τὴν νίκην προέκριναν αὐτοῦ.

E

BISETVS. Στροφὴ κώλων η.

Χο. Νῦν ἄρ' ἄξιόν γε πᾶσιν ἐστὶν ἐπολολύξαι.
Ὦ καλὰ λέγων, πολὺ δ' ἄμεινον ἔτι τῶν λόγων
Εἰργασμένε, εἴθ' ἐπέλθοις ἅπαντά μοι σαφῶς,
Ὡς ἐγώ μοι δοκῶ,
Κἂν μακρὰν ὁδὸν διελθεῖν, ὥστ' ἀκοῦσαι.
Πρὸς ταῦτ' ὦ βέλτιστε θαρσήσας λέγ', ὡς ἅπαντες ἡδόμεθά σοι.

F

CH. Nunc ergo nos omnes iugiter exclamare par est.
O bona loquendo, meliora faciendo qui
Adstas: vtinam dilucidè
Omnia explices mihi.
Namq; ego longum iter
Ingredi velim, dummodo te audire possim.
Dic agè, ô amice audacter: nos vt omnes
Gratulemur hìc tibi.

Σχόλια. Νῦν ἄρ' ἄξιον] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ πάντα δὴ πέπραγας ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἔστι δὲ ὀκτάκωλος. ἧς τὸ α. τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. μᾶλλον δὲ τετράμετρον βραχυκατάληκτον τοῦ ς ποδὸς τριβράχεος. τὸ β, ἐν εἰσθέσει παιωνικὸν τετράῤῥυθμον ἢ τετράμετρον καθαρὸν καταληκτικόν. τὰ δὲ λοιπὰ ἐν εἰσθέσει τὸ γ, παιωνικὸν δίῤῥυθμον. ἤτοι

G δίμετρον καταληκτικὸν ἀντὶ παίωνος ἰωνικὸν ἀπὸ μείζονος ἔχον. τὸ δ, τροχαϊκὸν ἐφθημιμερές. τὸ ε, παιωνικὸν δίῤῥυθμον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ ς, τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. τὸ ζ, ὅμοιον καὶ τὸ η, τροχαϊκὸν ἐφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τῆς δὲ ἀντιστροφῆς δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι. ἐπολολύξαι δὲ εὔξασθαι καὶ εὐφημῆσαι. Εἴθ' ἐπέλθοις.] εἴθε ἐθελήσαις μοι διελθεῖν καὶ διηγήσασθαι πάντα τὰ πραχθέντα σοι καὶ γεγενημένα. Κἂν μακρὰν ὁδόν.] καὶ ἀποδημίαν στείλασθαί μοι δοκῶ, ὥστε μαθεῖν τὰ πεπραγμένα. θέλω φησὶ καὶ μακρὰν ὁδὸν διελθεῖν, ἵνα μάθω, πῶς ἐνίκησας τὸν Κλέωνα. Ὡς ἅπαντες ἡδόμεθά σοι.] ὡς ἐπὶ τῇ σῇ εὐφραινόμεθα νίκῃ καὶ χαίρομεν. λείπει δὲ ἡ ἐπὶ ἵν' ᾖ ἐπὶ σοί. ἢ ἡ σύν. ἵνα ᾖ συνηδόμεθά σοι.